# Κανὼν Παρακλητικὸς Παναγίας Ἀρβανιτίσσης Καρυῶν Χίου



Ἅγιον Ὄρος 2008

ΕΞΩΦΥΛΛΟΝ:

Η ΕΦΕΣΤΙΟΣ ΕΙΚΩΝ ΤΟΥ ΝΑΟΥ ΤΗΣ ΠΑΝΑΓΙΑΣ ΑΡΒΑΝΙΤΙΣΣΗΣ, ΣΤΙΣ ΚΑΡΥΕΣ ΤΗΣ ΝΗΣΟΥ ΧΙΟΥ.

# «ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ» εἰς τὴν Παναγίαν τὴν Ἀρβανίτισσαν

## τὴν ἐν Καργαῖς τῆς Χίου ὀπτανομένην.

(Ἧς ἡ ἱερὰ σύναξις ἐπιτελεῖται τὴν πρώτην Κυριακὴν μετὰ τὴν τῶν Ἁγίων Πάντων).

Ποίημα
Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

Ὁ ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καί ἀεὶ καὶ εἰς τούς αἰῶνας, τῶν αἰώνων.

Ὁ ἀναγνώστης: Ἀμήν.

### Ψαλμὸς ΡΜΒ΄. (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι

κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου· ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

Καί εὐθὺς τό: Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Τὸ ἐπαναλαμβάνομεν ἀνὰ στίχον.

Στίχος α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Στίχος β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχος γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Κατόπιν τὰ τροπάρια.

**Ἦχος δ΄.** Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

Ἱκετικῶς τῇ σῇ εἰκόνι προσπίπτω, τὴν σὴν ἀνείκαστον αἰτούμενος χάριν, τοῦ ἐκφυγεῖν τὸν κλύδωνα, παντοίων δεινῶν· κράζων ἐκ βαθέων μου, Παναγία Παρθένε, Κόρη Ἀρβανίτισσα, ἀντιλήπτωρ γενοῦ μοι· καὶ θεοδρόμους δεῖξόν μοι ὁδούς, ὡς τετοκυῖα, Χριστὸν τὸν Θεάνθρωπον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. (Ὅμοιον)**

Ἡ ἱερὰ καὶ Ἁγιόνησος Χῖος, τῇ παρουσίᾳ σου Παρθένε καυχᾶται, καὶ συγκαλεῖ πρὸς αἴνεσιν, λατρείας ἡμᾶς· σὺ γὰρ ἐποπτάνεσαι, ἐν αὐτῇ Παναγία, κάλλει ὡραιότητος, διαλάμπουσα πάνυ· ἀρβανιτίσσης φέρουσα στολήν, ὥσπερ νεᾶνις, σεμνὴ λιγυρόκορμος.

## Καὶ νῦν.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου, λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;

Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ἀναγνώστης.

## Ψαλμὸς Ν΄ (50)

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καὶ τὸ Πνεῦμα Σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς Σου καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ἀρχόμεθα τοῦ κανόνος.
Οὗ ἡ ἀκροστιχίς:
«Ἀρβανίτισσαν Παναγίαν ἐν ὕμνοις τιμῶ. Ἰσιδώρας».

## Ὠδὴ α΄.
**Ἦχος πλ. δ΄.** Ὑγρὰν διοδεύσας...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἁγίων ἡ δόξα καὶ ἡ τιμή, Ἀγγέλων ὁ ὕμνος τῶν ἀνθρώπων καταφυγή, ὑπάρχεις ἀεὶ ἐν ἀσφαλείᾳ· ὢ Ἀρβανίτισσα Κόρη Παντάνασσα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥημάτων ἐπάκουσον τῆς ἐμῆς, φωνῆς Παναγία Ἀρβανίτισσα τῆς οἰκτρᾶς, καὶ δός μοι πρεσβείαις μητρικαῖς σου· ἐλευθερίαν παθῶν τῶν θλιβόντων με.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Βαρβάρων ἐῤῥύσω ἐπιδρομῆς, τὴν νῆσον τῆς Χίου ἐν χειρί σου τῇ κραταιᾷ, πιστοῖς Ἀρβανίτισσα Παρθένε· κηδεμονίας σου δοῦσα τὴν πρόνοιαν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἀπαύστως δυσώπησον τὸν Θεόν, Ὃν ἔσχες χερσί σου Ἀρβανίτισσα Μαριάμ, τὸ ἔλεος δοῦναι ἡμῖν πᾶσι· τοῖς μεγαλύνουσι πόθῳ τὴν σκέπην σου.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ναμάτων πληρέστατος ποταμός, χρηστότητος ῥεῖθρον ἀγαθότητος προχοή, ὑπάρχει ὁ Ἅγιος Ναός σου· ὁ ἐν τῇ Χίῳ σεμνὴ Ἀρβανίτισσα.

## Ὠδὴ γ΄.

Οὐρανίας ἁψῖδος...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἱερεῖς καὶ Λευῖται, τὴν σὴν μορφὴν σέβουσι, καὶ οἱ Βασιλεῖς ὁμοφρόνως, σὲ λιτανεύουσιν, οἱ δὲ πιστοὶ συνῳδά, τοῦ Ἀρχαγγέλου τὸ Χαῖρε, ἐν χαρᾷ φωνοῦσί σοι, ὦ Ἀρβανίτισσα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τῆς σῆς δόξης τὸ πλῆρες, καὶ τῆς τιμῆς Δέσποινα, τῆς ὑπερβαλλούσης τὸν πλοῦτον, πάντες θαυμάζουσιν, ὅτι Πατρὸς τῇ βουλῇ, ὦ Ἀρβανίτισσα Κόρη, ἐν σαρκὶ ἐκύησας, Λόγον συνάναρχον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἰσχυρὰ ἐν πολέμοις, καὶ ἐν δεινοῖς ἄθραυστος, πέλει Ἀρβανίτισσα Κόρη, ἡ προστασία σου, ὅτι λοιμοῦ φοβεροῦ, τὴν νῆσον Χῖον ἐῤῥύσω, τὴν κατ᾽ ἄμφω νέμουσα, ῥῶσιν τοῖς χρήζουσιν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι.

Σελασφόρος νεφέλη, τὸν νοητὸν Ἥλιον, τοῖς ἐν τοῖς σκιᾷ καθημένοις, ὢ Ἀρβανίτισσα, ἐξανατέλλεις διό, τῇ σκοτισθείσῃ ψυχῇ μου, ἱλαρὸν ἀνάτειλον, φῶς ἐπιγνώσεως.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σεμνοτάτη ἡ θέα, τῆς σῆς μορφῆς πέφυκε, καὶ τὸ ἀξιέραστον κάλλος, τὸ τοῦ προσώπου σου, ὑπερεκπλήττει βροτούς, ὢ Ἀρβανίτισσα Κόρη, ἐξιστᾷ Ἀγγέλων τε, θεῖα στρατεύματα.

Ἐπίφανον, ἡμῖν τὸ κάλλος τῆς θείας σου εὐπρεπείας, τοῖς τιμῶσι σε ἐν ᾠδαῖς σεμνὴ Ἀρβανίτισσα, καὶ αὔγασον φέγγος τῆς ἀληθείας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ ἱερεὺς μνημονεύει. Μεθ᾿ ὅ:

**Κάθισμα.** Ἦχος β΄. Πρεσβεία θερμή...

Τῆς Χίου λαός, ἀγάλλεται τῇ σκέπῃ σου, Ἑλλάδος ἡ γῆ, λαμπρύνεται τῇ δόξῃ σου, καὶ χαρᾶς σοι ᾄσματα· προσφωνοῦσα κράζει ἑκάστοτε, τῇ σῇ προνοίᾳ φύλαττε Ῥωμηῶν, τὸ γένος Παρθένε Ἀρβανίτισσα.

## Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀδιστάκτῳ τῇ πίστει σοι, Κόρη Ἀρβανίτισσα καταφεύγουσιν· τῆς Ἑλλάδος τὰ στρατεύματα, καὶ τῆς νήσου Χίου τὰ πληρώματα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ναυτιῶντι με κλύδωνι, τῶν πειρατηρίων καὶ περιστάσεων· Ἀρβανίτισσα παράσχου μοι, βοηθείας χεῖρά σου τὴν ἄμαχον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Πεπτωκότα με πάθεσι, καὶ τοῖς ἁμαρτήμασιν ἀπολλύμενον· σαῖς πρεσβείαις Ἀρβανίτισσα, Παναγία πάλιν με ἀνάστησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι.

Ἀνδρικῷ με φρονήματι, καὶ ψυχῇ γενναίᾳ λιτεύεσθαι· Παναγία Ἀρβανίτισσα, καταξίωσόν με τὸν ἱκέτην σου.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Νικητήν με ἀνάδειξον, κατὰ τοῦ ἀλάστορος Ἀρβανίτισσα· Παναγία ἡ τῷ κράτει σου, τοῦ ἐχθροῦ νικῶσα τὰ βουλεύματα.

## Ὠδὴ ε΄.

Φώτισον ἡμᾶς...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἄσμασι καινοῖς, Παναγία Ἀρβανίτισσα, σὴν ὑπέρμαχον δοξάζομεν ἰσχύν, ἀνευφημοῦντες, τὴν ταχείαν σου ἀντίληψιν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Κήρατος ἰσχύς, χαλινός τε τῆς νεότητος, πενομένων τε τροφὸς καὶ βοηθός, ἀεὶ ὑπάρχεις, Παναγία Ἀρβανίτισσα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἵλεων ἡμῖν, Παναγία Ἀρβανίτισσα, τὸν Θεὸν Ὅνπερ ἀπέτεκες σαρκί, ταῖς Μητρικαῖς σου, παρακλήσεσιν ἀπέργασαι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἄγαν ἐν δεινοῖς, καὶ ἐν μάχαις σὺ προΐστασαι, Παναγία Ἀρβανίτισσα σεμνή, ἐκ τῶν κινδύνων, ἀεὶ σῴζουσα τοὺς Ἕλληνας.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Νέκταρ νοητόν, ὑπὲρ ἔννοιαν γλυκύτητα, εὐφροσύνην καὶ χαρὰν πνευματικήν, εἰκών σου βλύζει, Παναγία Ἀρβανίτισσα.

## Ὠδὴ ς΄.
Τὴν δέησιν...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐπίστασαι, φανερῶς ἑκάστοτε, ἐν ἡμέρᾳ καὶ νυκτὶ Παναγία· ὡς λιγυρά, καὶ πανέμορφος Κόρη, τὸ μελανόχρωμον φέρουσα ἔνδυμα· καὶ νέμουσα λαμπροφανῆ· Ἀρβανίτισσα χάριν καὶ εὔνοιαν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Νεκρώσεως, καὶ φθορᾶς τὸν ἄνθρωπον, τῷ σῷ τόκῳ ἐλυτρώσω Παρθένε· ζωοποιόν, Ἀναστάσεως χάριν, καὶ αἰωνίαν παρέχουσα λύτρωσιν· ὢ Ἀρβανίτισσα σεμνή· ἀγαθότητος πλῆρες κεφάλαιον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὑφάνασα, ἐξ ἁγνῶν αἱμάτων σου, τῷ τῶν ὅλων Βασιλεῖ ἁλουργίδα· βασιλικήν, περιβέβλησαι χάριν, καὶ οὐρανίας τιμῆς κοσμιότητα· ἐν εὐπρεπείᾳ, ἱερᾷ· Παναγία σεμνὴ Ἀρβανίτισσα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Μητρόθεε, Παναγία Δέσποινα, Ἀρβανίτισσα Παρθένε Μαρία· δόξαν ἡμῖν, τὴν ἀμείωτον δίδου, καὶ κατὰ χάριν θεοὺς ἡμᾶς ποίησον· τοὺς σέβοντας πανευλαβῶς· τὸ σεπτόν σου καὶ ἅγιον Ὄνομα.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Νυστάξαντες, ῥαθυμίας πάθεσι, καὶ τῇ λήθῃ τῆς ἀγνοίας πεσόντες· δίδου ἡμῖν, συμπαθείας σου χεῖρα, ὢ Ἀρβανίτισσα Κόρη φιλάγαθε· ἵνα νυμφῶνα τοῦ φωτός· σὺν φρονίμοις παρθένοις οἰκίσωμεν.

Ἐπίφανον, ἡμῖν τὸ κάλλος τῆς θείας σου εὐπρεπείας, τοῖς τιμῶσι σε ἐν ᾠδαῖς σεμνὴ Ἀρβανίτισσα, καὶ αὔγασον φέγγος τῆς ἀληθείας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Ὁ ἱερεὺς καὶ πάλιν μνημονεύει.*
*Μετὰ δὲ τὴν ἐκφώνησιν:*

**Κάθισμα.** Ἦχος β΄.
Προστασία τῶν Χριστιανῶν...

Δυναστείας τῆς δαιμονικῆς ἠλευθέρωσας, τὴν βροτείαν φύσιν τοῦ Ἀδὰμ Θεονύμφευτε, σὺ γὰρ μόνη ὑπερφυῶς ἀπέτεκες ἐν γῇ· Θεὸν ἄναρχον μετὰ σαρκός, καὶ ἐπανήγαγες ἡμᾶς, εἰς τὴν πρώτην λαμπρότητα, πύλη τῆς σωτηρίας, ἀνθρώπων τε εὐκληρία, καὶ πρὸς Θεὸν καταλλαγή, Παναγία Ἀρβανίτισσα.

*Εἶτα τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου.*

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

**Δόξα.**

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

**Καὶ νῦν.**

Ἁγίῳ Πνεύματι, ἀναβλύζει, τὰ τῆς χάριτος, ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (δίς)

**Στίχ.** Ἄκουσον, Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Εἶτα· ἐκ τοῦ κατὰ Λουκᾶν
ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τήν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμόν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Καὶ εἶτα· Ἦχος β΄.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τῆς Ἀρβανιτίσσης πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχ.** Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

## Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Χῖος ἐπαγάλλεται, ἡ θεοτίμητος νῆσος, Καρυῶν χωρίον τε, ἀγλαῶς δεδόξασται τῇ σῇ χάριτι· ἐν αὐτῇ ἔκτισται, ὁ σεπτὸς Ναός σου,

Παναγία Ἀρβανίτισσα· εἰκών τε θεία σου, μεγαλοπρεπῶς τεθησαύρισται· ἐξ ἧς ἀναπηγάζουσι, ῥεῖθρα δωρεῶν τὰ ἀκένωτα· τούτων μετασχόντες, βοῶμέν σοι τὸ χαῖρε Μαριάμ, εὐλογημένη Πανάμωμε, βροτῶν ἡ ἀνάκλησις.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ᾽ αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῶζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός...

## Ὠδὴ ς΄.

Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ χριστώνυμος κλῆρος, καὶ λαὸς ἐν τῇ Χίῳ συνεπαγάλλονται, τῇ μνήμῃ σου τῇ θείᾳ Παρθένε Παναγία, Ἀρβανίτισσα Δέσποινα· καὶ ἑορτίοις ᾠδαῖς, αἰνοῦσί σε συμφώνως.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἰατρείας παρέχεις, δωρεὰν τοῖς νοσοῦσιν, ὦ Ἀρβανίτισσα, Θεοῦ γὰρ οὖσα Μήτηρ, τοῦ πάντα δυναμένου, τὰ ἀνέφικτα πέπρακται· καὶ διὰ σοῦ ἀγαθῶν, ἡ δόσις τελειοῦται.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σὺν μητράσι ὡς μήτηρ, σὺν παρθένοις παρθένος ὡς ἀδιάφθορος, δωρεῖσαι ἀφθαρσίαν, ἐλέους τε τὸν πλοῦτον, Μαριὰμ Ἀρβανίτισσα· τοῖς τὴν σεπτήν σου μορφήν, πιστῶς ἀσπαζομένοις.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τηλαυγῶς καθωράθης, ἐν νυκτὶ καὶ ἐν ὄρθρῳ, ὦ Ἀρβανίτισσα, βαδίζουσα ἐν Χίῳ, καὶ κρούουσα Ναοῦ σου, τοῦ Ἁγίου τοὺς κώδωνας· καὶ τὰς κανδήλας αὐτοῦ, καλοῦσα τοῦ ἀνάπτειν.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰταμότητα Ἅδου, καὶ θανάτου τὸν ὄλεθρον τὸν πικρότατον, ἠφάνισας εἰς τέλος Ἀνάστασιν δὲ πᾶσι, καὶ ζωὴν Ἀρβανίτισσα· θεογεννῆτορ βροτοῖς, τῷ τόκῳ σου πιστοῦσαι.

## Ὠδὴ η΄.

Τὸν Βασιλέα...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Μὴ διαλίπῃς, ὑπὲρ ἡμῶν τῷ Υἱῷ σου, Ἀρβανίτισσα Κόρη πρεσβεύειν, τῶν τὰ μεγαλεῖα, ἐνδόξως σου τιμώντων.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς θαυμασία, ὦ Ἀρβανίτισσα Κόρη, ὡς ἐξαίρετος πάνυ ὑπάρχει, τῆς σῆς παρουσίας, ἡ θεία ὡραιότης.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἱλαρωτάτη, καὶ λιγυρά σου ἡ θέα, Μαριὰμ Ἀρβανίτισσα πέλει, σὲ τοὺς καθορῶντας, ἐκπλήττουσα ἐν Χίῳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι.

Σημείοις θείοις, καὶ φοβεροῖς ὁ Υἱός σου, καὶ Θεὸς Ἀρβανίτισσα στέφει, δόξῃ ἀκηράτω, ὡς Ἥλιος γὰρ λάμπεις.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰδόντες πάντες, οἱ ἐν τῇ Χίω Παρθένε, Ἀρβανίτισσαν σὴν προστασίαν, ἔχαιρον αἰνοῦντες, τὰς σὰς χοροστασίας.

## Ὠδὴ θ΄.

Κυρίως Θεοτόκον...

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Διάχρυσον ἐσθῆτα, περιβεβλημένη, πεποικιλμένη τε στέφος, ἀφθάρτου τιμῆς, ὦ Ἀρβανίτισσα Κόρη, Θεῷ παρίστασαι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς εὔδιον λιμένα, ἐν ταῖς τρικυμίαις, καὶ τοῖς κινδύνοις τοῦ βίου, ἡ Χῖος πλουτεῖ, τὴν ἱεράν σου εἰκόνα, ὦ Ἀρβανίτισσα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥητόρων σιωπῶσι, χείλη εὐλαλοῦντα, καὶ καταπαύουσι φθόγγοι, λογίων ἀνδρῶν, σέβας διδόντες πρεπόντως, σοὶ Ἀρβανίτισσα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι.

Ἀγγέλων στρατηγίαι, καὶ ταξιαρχίαι, τῶν Ἀρχαγγέλων σοὶ χαῖρε, βοῶσι χαρᾷ, ὦ Ἀρβανίτισσα Κόρη, Θεοχαρίτωτε.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σφραγὶς προφητευόντων, θύρα σωτηρίας, καὶ εὐλογίας ὑπάρχεις, ἡ ὄντως πηγή, ὦ Ἀρβανίτισσα Κόρη, Θεογεννήτρια.

Καὶ εὐθύς, τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια.
Ὧν ἡ ἀκροστιχίς:
«Χαίροις Χίου ἔφορε».

Χαίροις τῶν μητέρων ἡ χαρμονή, χαίροις τῶν παρθένων ἡ ὑπέρκαλλος καλλονή, χαίροις γῆς ἁπάσης καὶ Οὐρανοῦ ἡ δόξα· ὦ Δέσποινα Ἀνύμφευτε Ἀρβανίτισσα.

Ἄνθη θεοδρέπτων ὑμνῳδιῶν, δῶρα ὡς εὐώδη προσενέγκωμεν οἱ πιστοί, τῇ Ἀρβανιτίσσῃ Παρθένῳ Παναγίᾳ· αὐτὴν προσυπαντῶντες ἀγαλλιώμενοι.

Ἰάσεις σωμάτων τε καὶ ψυχῶν, βλύζει ἀενάως ἡ εἰκών σου ἡ ἱερά, νῆσον δὲ τῆς Χίου πλουτεῖς ἐν εὐλογίαις· Παρθένε Ἀρβανίτισσα Θεονύμφευτε.

Ῥάβδῳ εὐστοργίας σου μητρικῆς, τρίβον εἰς εὐθείαν σωτηρίου διαμονῆς, σὺ ἐν ἀσφαλείᾳ ἰθύνεις Παναγία· ὑψοῦσα ἐκ βαράθρων ὦ Ἀρβανίτισσα.

Ὅμιλος παρθένων πανευλαβῶς, ἄθροισμα πιστῶν τε Ὀρθοδόξων πᾶσα πληθύς, λόγοις ἐγκωμίων καὶ ὕμνοις εὐαρέστως· αἰνοῦσι Παναγίαν τὴν Ἀρβανίτισσαν.

Ἴνδαλμα τῆς πλάνης τὸ εἰδεχθές, ἔῤῥιπται εἰς χάος καὶ συντέτριπται παντελῶς, σοῦ τῷ θείῳ τόκω καὶ κέρας ἀληθείας· ἠνόρθωται ἐνδόξως ὦ Ἀρβανίτισσα.

Σέλας ἡλιόμορφον καὶ τερπνόν, εἴδομεν Παρθένε Ἀρβανίτισσα διὰ Σοῦ, ἄρχοντα τεκοῦσα καὶ ποιητὴν τῶν φώτων· αὐγάζεις γὰρ τοῦ κόσμου ἅπαν τὸ πλήρωμα.

Χῖος μεγαλόνησος καθορᾷ, σοῦ τὴν παρουσίαν Ἀρβανίτισσαν Μαριάμ, ἅμα τε συγχαίρει τῶν Καρυῶν χωρίον· Ἑλλάς τε πᾶσα στέργει τὴν προστασίαν σου.

Ἵλαθι Παρθένε ὡς συμπαθής, βλέψον εἰς λαόν σου τὸν ἐλπίζοντα ἐπὶ σέ, δίδου σῆς προνοίας τὰς δωρεὰς ἀφθόνως· καὶ σκέπε σοὺς ἱκέτας, ὦ Ἀρβανίτισσα.

Ὅρμον εἰς ἀκύμαντον τοῦ Χριστοῦ, ἴθυνον σοὺς δούλους Ἀρβανίτισσα Μαριάμ, πᾶσι δὲ καρδίαν γαλνιῶσαν δίδου· καινίζουσα τὴν χάριν τὴν εἰρηνόμορφον.

Ὕψος παρθενίας σου ἐξυμνῶ, βάθος σῆς ἁγνείας Ἀρβανίτισσα εὐφημῶ, μέλπω σῶν χαρίτων τὸ πέλαγος τὸ μέγα· καὶ πλῆθος σῶν θαυμάτων τὸ ἀπροσμέτρητον.

Ἔρεισμα ἀκράδαντον τῶν πιστῶν, τεῖχος οἰκουμένης καὶ ἀπόρθητον ὀχυρόν, σθένος πολεμούντων καὶ νίκη τῶν ἀθλούντων· σὺ εἶ ἀδιαψεύστως ὦ Ἀρβανίτισσα.

Φάλαγγες δαιμόνων αἱ ζοφεραί, ἥττηνται Παρθένε Ἀρβανίτισσα σῷ φωτί, πρόσωπα πιστῶν τε λαμπρύνονται σῇ δόξῃ· καὶ τάξεις τῶν Ἀγγέλων συνεπαγάλλονται.

Ὄμματα καρδίας μετὰ σπουδῆς, αἴρομέν σοι Κόρη Ἀρβανίτισσα δουλικῶς, σοῦ τὴν συμμαχίαν αἰτούμενοι ἐν πίστει· καὶ ῥώμῃ πεποιθότες τῆς σῆς δυνάμεως.

Ῥόδον τὸ ἀμάραντον καὶ τερπνόν, ἤνθησας Παρθένε Ἀρβανίτισσα τὸν Χριστόν, οὗ ταῖς ἀποῤῥήτοις καὶ θείαις εὐωδίαις· εὐφραίνονται καρδίας τὰ αἰσθητήρια.

Ἔχουσι Ναόν σου τὸν ἱερόν, Καρυαὶ τῆς Χίου ὡς θεόκτιστον θησαυρόν, ἅμα τε εἰκόνα πλουτοῦσι σου ἁγίαν· χρυσοῦ τιμιωτέραν, ὦ Ἀρβανίτισσα.

Ἴδε τὴν πενίαν μου Μαριάμ, βλέψον εὐτελείας τῆς πολλῆς μου ἐν οἰκτιρμοῖς, πλοῦτον μοι παράσχου τῆς σῆς ἀγαθωσύνης· ὡς Μήτηρ τοῦ ἐλέους ὦ Ἀρβανίτισσα.

Χαίροις χαροπάροχε Μαριάμ, χαίροις παραδείσου ἡ εὐφρόσυνος ἀπαρχή, χαίροις σωτηρίας ἡ ἀληθὴς αἰτία· βεβαίωσις ἐλπίδος, ὦ Ἀρβανίτισσα.

Πᾶσαι τῶν Ἀγγέλων οἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα. Καὶ νῦν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ἑλλάδος ἡ σκέπη, τῶν πιστῶν καταφύγιον, γένους τῶν Ῥωμηῶν προστασία, Καρυῶν Χίου ἔφορος· λαοῦ σου ἀντιλήπτωρ καὶ φρουρός, Παρθένε Ἀρβανίτισσα σὺ εἶ, ὁρωμένη μετὰ σώματος ἐμφανῶς, καὶ ἐν πολέμοις σπεύδουσα. Χαίροις ἡ κηδεμὼν τῶν ἐν δεινοῖς,

χαίροις τροφὸς ἡ εὔστοργος, χαίροις ἡ ἱλεοῦσα τὸν Θεόν, ὡς Τούτου Μήτηρ ἄχραντος.

Εἶτα ἐκτενὴς ὑπὸ τοῦ ἱερέως· καὶ Ἀπόλυσις. Μεθ᾽ ἧς, πρὸ τοῦ δι᾽ εὐχῶν, τὰ ἀκόλουθα:

## Τροπάρια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ πύλου...

Χαίροις Ἀρβανίτισσα σεμνή, χαίροις τῶν πιστῶν ἀντιλήπτωρ, τῶν ὀρφανῶν προμηθεῦ, ἄρτος τῶν πεινώντων τε, ὁ ἀδαπάνητος· τῶν ἐν δίψει ἀνάψυξις, πενήτων ἡ σκέπη, θάλψις θλιβομένων τε, καὶ περιβόλαιον· χαίροις ἰατὴρ τῶν νοσούντων, χαίροις ἀγαθῶν οὐρανίων· ἡ διαιωνίζουσα ἀπόλαυσις.

Νεῦσον ταῖς δεήσεσιν ἡμῶν, ἄκουσον φωνῆς στεναγμοῦ τε, εὐσυμπαθήτῳ ῥοπῆ, ὦτα σου διάνοιξον, ταῖς παρακλήσεσιν· ἀναξίων προσφύγων σου, πιστῶς αἰτουμένων, σοῦ τὴν οἰκειότητα τὴν ἀκατάληπτον· ἔχεις τοῦ Θεοῦ γὰρ ὡς Μήτηρ, σπλάγχνα οἰκτιρμῶν ἀμετρήτων· Κόρη Ἀρβανίτισσα Θεόνυμφε.

Χῖος ἐγκαυχᾶται ἱερῶς, σοῦ τῇ ἐμφανεῖ παρουσίᾳ, ἐν τοῖς ἐσχάτοις καιροῖς, χαίρει τὸ χωρίον τε, τῶν Καρυῶν καὶ σκιρτᾷ· ὁρατῶς γὰρ παρίστασαι, ἐν τούτῳ Παρθένε, θείαις ἐμφανίσεσιν, ὡς Ἀρβανίτισσα· ὕμνους εὐχαρίστως

διό σοι, ψάλλουσι βοῶντες ἀπαύστως· χαίροις τῶν Ἀγγέλων ἡ εὐπρέπεια.

Σπεῦσον ἐξελοῦ με τῶν δεινῶν, καὶ τῶν συμφορῶν λύτρωσαί με, τῇ κραταιᾷ σου χειρί, θραῦσον τὰ βουλεύματα, τοῦ πολεμήτορος· καὶ τὸν νοῦν μου ἀνάγαγε, πρός φῶς θειοτάτης, καὶ ἀδιαδόχου τε, μακαριότητος· πάντα γὰρ ποιεῖς ἀκωλύτως, ὡς Θεοῦ τοῦ πάντων Δεσπότου· Μήτηρ Παναγία Ἀρβανίτισσα.

Χάριν τὴν πολύδωρον ἡμῖν, δίδου Ἀρβανίτισσα Κόρη, ταῖς μητρικαῖς σου λιταῖς, πᾶσι τοῖς προστρέχουσι, τῇ ἀντιλήψει σου· καὶ πιστῶς μεγαλύνουσι, τῶν σῶν θαυμασίων, πλῆθος τὸ ἀμέτρητον, καὶ ἀξιέραστον· πόθῳ προσκυνοῦσι τε ἅμα, σοῦ τὴν παναγίαν εἰκόνα· ἣν ἡ Χῖος ἔχει ὡς παλλάδιον.

Ἦχος πλ. δ΄.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β΄.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι᾽ εὐχῶν...

## Δίστιχα Ἀκροτελεύτια.

Διὰ παντός με φύλαττε ἐκ τῶν δεινῶν τοῦ βίου, ἀπὸ βαθέων κράζει σοι ἡ πένης Ἰσιδώρα, Δέσποινα Ἀρβανίτισσα τοῦ κόσμου προστασία, τῆς Χίου τε ἀντίληψις, τῶν Καρυῶν Κυρία, ἐν ᾗ ὁρᾶσαι ἐμφανῶς ἐν τοῖς ὑστέροις χρόνοις, πιστῶν εἰς περιποίησιν, λαοῦ εἰς σωτηρίαν, ἵνα τὸ σὸν δοξάζωμεν Ὄνομα Παναγία, καὶ τὸν Υἱόν σου καὶ Θεὸν λατρεύωμεν ἐν πίστει, Ὁμοουσίῳ σὺν Πατρὶ καὶ Πνεύματι Ἁγίῳ, Τριάδα τὴν Ὁμόθεον, Μονάδα Τρισαγίαν, ᾗ δόξα καὶ προσκύνησις ἀνήκει εἰς αἰῶνας.

## ΑΜΗΝ.

## Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ρωμηωσύνης στήριγμα καὶ προστασία, Χίου φύλαξ ἄγρυπνος, κόσμου παντός τε προσφυγή, τῶν δέ πιστῶν εἶ κραταίωμα· ὦ Παναγία, Σεμνὴ Ἀρβανίτισσα.

## Μεγαλυνάριον.

Χάρις μεγαλείων ὑπερφυῶν, πλῆθος τε θαυμάτων, Ἀρβανίτισσα Μαριάμ, ῥέει ἀκενώτως ἐκ θείας σου Εἰκόνος· ἣν Χίος νῦν κατέχει πλοῦτον ὡς ἄσυλον.




Εἰκόνα τοῦ τέμπλου τοῦ Ἱεροῦ Ναοῦ
τῆς Παναγίας Ἀρβανιτίσσης στὶς Καρυὲς τῆς Χίου.
Οἱ Τοῦρκοι στρατιῶτες ἀποτύπωσαν τὸ θυμό τους
στὸ πρόσωπο τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
λίγο πρὶν ἐγκαταλείψουν τὸ νησὶ παντοτινά,
καταδιωκόμενοι ἀπὸ τὸν Ἑλληνικὸ στρατὸ τὸ 1912.